βρούτου

πρὸς δέ γε πορκίην ἐσθλὴν παράκοιτιν βρούτου
αἳ πόσιας τίμησαν, καὶ ἔλαβον κλέος ἐσθλόν·
οὐδὲ λέχη ᾔσχυναν, ἀτάσθαλα ἔργα φρονοῦσαι,
οἷαι νῦν τελέθουσιν, ἀναιδέες, ἀλλοιόθυμοι,
φιλονόμη, φαίδρα, σθενέβοιά τε, ἀλγεόδωρος,
τῆς τοι λαοδαμείας ὡραῖος παρακοίτης,
πρῶτος, πρωτεσίλαος, ἀρήϊος, ἔκθορε πλοίου,
πόντῳ δ' ἐπειγόμενος, καὶ ἔλυσε φόβον χρ
νίκην οἷς ἑτάροισιν ἐφ' θανάτῳ σφοῖο, περιτεύξας
πάντες γὰρ, τὸν ἄριστον ἰδότες ς τόνδε πεσόντα
νηῶν ἐξεχέοντο, καὶ ἀλλήλους ἐνάριζον,
αὐτὰς δ' αὖ κατέδησαν πρυμναίῃσι κάλωσιν.

ς u. 50.

ς ἰδοῦτες requirit metrum.

Appianus civil. lib. IV. Valerius IV. 6.

69. ΠΟΡΚΙΗΝ ΕΣΘΛΗΝ. πορκία[43] γυνὴ τοῦ βρούτου τοῦ ῥωμαίου, οὗ βρούτου περὶ φιλίππου[44] παρὰ τοῦ[45] παρὰ καίσαρος ἀναιρεθέντων, ἡ πορκία, παρὰ τῶν αὐτῆς συγγενῶν φυλαττομένη, μὴ διαχειρίσαιτο ἑαυτὴν, ἄνθρακας ἐμπύρους ἁρπάσασα, τῷ ἑαυτῆς στόματι ἐμβάλλει, καὶ συγκλείσασα τὰς σιαγόνας, ἑαυτὴν ἀναιρεῖ, ὡς ἱστορεῖ νικόλαος ὁ φιλόσοφος, καὶ μάξιμος ὁ αἰγινήτης, καὶ πλούταρχος, καὶ μύριοι ἕτεροι συγγραφεῖς.

Plut. in Bruto.

ἀντονομασία rhetoribus.

72. ΟΙΑΙ ΝΥΝ ΤΕΛΕΘΟΥΣΙ. τοῦτο δεινότης ἐστὶ ῥητορικὴ, τὸ τὰς μοιχαλίδας φιλονόμας καὶ φαίδρας, καὶ σθενεβοίας, λέγειν, ὥσπερ καὶ τοὺς τυράννους φαλάριδας, ἢ πεισιστράτους καὶ τὰ ὅμοια ὁμοίως. 75. τὰ δὲ τῆς τραγάσου θυγατρὸς,[46] ΦΙΛΟΝΟΜΗΣ, γυναικὸς δὲ κύκνου, περὶ τὸν πρόγονον τέννην, ἔτι καὶ τὰ τῆς ΦΑΙΔΡΑΣ περὶ ἱππόλυτον, καὶ τὰ τῆς ΣΘΕΝΕΒΟΙΑΣ[47] τῆς καὶ ἀντείας, γυναικὸς προίτου, περὶ τὸν βελλεροφόντην, πασίδηλα.

Pseudodidymus ad ἰλ. α'. 38. Tzetza ad Lycophr. u. 232. Stephanus in τένεδος, ubi leg. μόλπον γὰρ αὐλητήν, non, ut editur, τὸν γὰρ αὐλητήν. Suidas in τενέδιος ἄνθρωπος, Eustath. ad περιηγητὴν, u. 537, alii. De Phaedra Euripides ἱππολύτῳ utraque egit. ὁ στεφανηφόρος tantum restat. De Stheneboea videsis Tzetzan ad Lycophr. u. 17. Schol. min. ad Il. ζ'. ~~alios~~ Apollod. lib. II. p. 68. alios.

http://digital.slub-dresden.de/ppn346492408/16